Sy242
α/580.
87β

# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

## ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΦΩΚΑ

ΕΠΙΣΚΟΠΟΥ ΣΙΝΩΠΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΤΑΙ

ΦΙΛΟΤΙΜῼ ΔΑΠΑΝῌ

ΥΠΟ ΤΟΥ ΕΦΗΜΕΡΕΥΟΝΤΟΣ ἘΝ Τῼ ΠΑΝΕΝΔΟΞῼ ΑΥΤΟΥ ΝΑῼ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΚΥΡΙΛΛΟΥ ΒΟΪΝΗ

ΕΚ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΠΑΤΜΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΥΡΙΣΚΕΤΑΙ ΠΑΡΑ Τῼ ΚΩΝΣΤΑΝΤΙΝῼ ΧΡ. ΔΟΥΚΑΚΗ
1898

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΦΩΚΑ

Ἐπισκόπου Σινώπης τοῦ θαυματουργοῦ.

**Ψαλλομένη τῇ κβ' Σεπτεμβρίου.**

---

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια ϛ'.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Καταβαλὼν τῶν εἰδώλων τὴν ματαιότητα, τῷ ἱερῷ σου λόγῳ, ἐβεβαίωσας πίστει, καρδίας ἀστηρίκτους, καὶ πρὸς ζωήν, ἱεράρχα ὡδήγησας, καὶ ἐναθλήσας νομίμως μάρτυς Φωκᾶ, τοῦ Κυρίου ἐχρημάτισας.

Τὴν ἱερὰν διπλοΐδα, βάψας ἐν αἵματι, τῆς ἱερᾶς σαρκός σου, ἱερώτατε Πάτερ, διπλοῦς στεφάνους ὄντως, παρὰ Χριστοῦ, ὑπεδέξω πανόλβιε· καὶ σὺν Ἀγγέλοις χορεύεις ἐν οὐρανοῖς, ἱκετεύων τοῦ σωθῆναι ἡμᾶς.

Ταῖς τῶν θαυμάτων ἀκτῖσι, πᾶσαν φωτίζεις τὴν γῆν, τοῖς ἐν θαλάσσῃ Πάτερ, βοηθεῖς καθ' ἑκάστην· νοσήματα διώκεις, παύεις ψυχῆς, καὶ σαρκὸς ἀρρωστήματα, παρὰ Κυρίου τὴν χάριν μάρτυς Φωκᾶ, εἰληφὼς θεομακάριστε.

Ἀθλητικῶν ἐξ αἱμάτων, κρατῆρα πλήσας πιστοῖς, ἰάσεις ἐπαρδεύει, καὶ τὰς νόσους ἐλαύνει, Φωκᾶς ὁ Χριστοῦ μάρτυς ἐν ὑψηλῷ, μαρτυρίας κηρύγματι, πάντας καλεῖ, οἱ διψῶντες δεῦτε πιστῶς, ποταμοὺς χαρίτων δρέψασθε.

Τῆς ἀθεΐας τὴν πλάνην θείᾳ ἐνστάσει σου, πολυθεΐας ζάλην, τῆς Τριάδος δυνάμει, Φωκᾶ μάρτυς ἐκτρέψας, ξίφους ἀκμήν, τοῦ πυρός τε τὴν ἔκκαυσιν, καὶ νιφετοὺς τῶν βασάνων τῶν ἀλγεινῶν, ὡς χρυσίον ἐκαρτέρησας.

Τοῦ Ζωοδότου σὺ κήρυξ, Θεοῦ γενόμενος· θανάτου τε παρόπτης, ἀθλητὰ ἀνεδείχθης, καὶ θεῖος ἀθλοφόρος, ὅθεν ζωήν, διὰ θανάτου ὠνούμενος, πρὸς τὴν ἀνέσπερον ἔβης μαρμαρυγήν, τοῦ Θεοῦ Φωκᾶ μακάριε. Δόξα ἦχος δ'.

Ἐκ βρέφους ἐγένου τοῦ Κυρίου ἐραστής, Φωκᾶ παμμακάριστε, ἱερομάρτυς Χριστοῦ· τὸ γὰρ ὅπλον τοῦ Σταυροῦ ἐπ' ὤμων ἀράμενος, ἀκλινῶς ἐπορεύθης τὴν ὁδὸν τῆς ἀληθείας· δι' ἧς τῶν Ἀγγέλων ὑφέστιος γέγονας, δαιμόνων ἀντίπαλος, οἰκουμένης πρεσβευτής, καὶ πλεόντων ἀντίληψις.

Καὶ νῦν ὁ αὐτός. Θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβίδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. Κεφ. μγ' 9.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. Κεφ. γ' 1.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξο-



δος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. Κεφ. ε' 15, καὶ ϛ' 1.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α'.

Ἀγῶνα καλὸν ἠγωνίσω, καὶ δρόμον τετέλεκας τοῦ μαρτυρίου σου, ἱερομάρτυς Φωκᾶ· διὸ ἐν Ὑψίστοις μετ' Ἀγγέλων χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω Βασίλεια. Ἀλλὰ πρέσβευε Φωκᾶ παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Ἦχος β'.

Διδασκαλίας τὴν πλάνην, καὶ γνῶσιν τῶν εἰδώλων, ἀπεδύσω ἀληθῶς, καὶ σταυρὸν ἠμφιάσω, Φωκᾶ παμμακάριστε· τὸν γὰρ ἄνθρωπον ἀπέθου τὸν παλαιόν, καὶ ᾤκησεν ἐν σοὶ γνῶσις

Θεοῦ, ἡ Τριὰς ἡ Ὁμοούσιος. Αὐτὴν ἱκέτευε ἱεράρχα, σὺν Ἀγγέλοις, τοῦ σωθῆναι ἡμᾶς. Ὁ αὐτός.

Ἔλαμψας τρισμάκαρ Φωκᾶ, ἐν τῷ σεπτῷ στερεώματι τῆς Ἐκκλησίας, ὥσπερ ἀστὴρ ἀνέσπερος, φωτίζων διὰ τῶν θεοχαρίτων σου θαυμάτων, ἅπαντας τοὺς ἐν γῇ τε καὶ θαλάσσῃ, προσκαλουμένους σε θερμῶς μετὰ πίστεως· ἡ γὰρ χάρις τοῦ Ἁγίου Πνεύματος, ἔστεψέ σε Ἀρχιερέα, καὶ μάρτυρα στερρόν. Διὸ καὶ νῦν μὴ διαλείπῃς ὑπὲρ ἡμῶν πρεσβεύων, ὡς ἔχων παρρησίαν πρὸς Κύριον, τὸν μόνον φιλάνθρωπον. Ἦχος γ'.

Ἀρχιερεῦ Ὅσιε, παμμακάριστε Πάτερ θαυματουργέ, θεράπων Χριστοῦ, Φωκᾶ Ἱερέ, προφητικῷ ἐκλάμψας βίῳ, καὶ ἀποστολικῶν ἀξιωθεὶς χαρισμάτων, τῷ Σωτῆρι λειτουργῶν, σὺν Ἀγγέλοις ἀπαύστως, ρυσθῆναι ἀπὸ πάσης ἀπειλῆς τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Τῆς ἀθανάτου δόξης τυχεῖν ἐφιέμενος, Φωκᾶ τρισμακάριστε, πάντα τὰ τοῦ βίου τερπνά, εἰς οὐδὲν ἐλογίσω, καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, ἔσπευσας διὰ βίου ζῆσαι ὡς ἄσαρκος, φέρων ἐν τῷ νῷ τὴν τοῦ Κυρίου φωνήν, ὅτι ὁ ἀπολέσας τὴν ἑαυτοῦ ψυχήν, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Ὅθεν καὶ ἀμειβόμενος παρ' αὐτοῦ, τὴν τῶν θαυμάτων ἐνέργειαν ἐκομίσω, ἔτι ὢν ἐν ἡλικίᾳ βρεφικῇ, καὶ στέφανος οὐράνιος διὰ περιστερᾶς, τῇ κεφαλῇ σου ἐπέμφθη, καλούσης σε πρὸς τὸ τοῦ μαρτυρίου στάδιον. Διὸ πρέσβευε ἐκτενῶς ὑπὲρ τῶν πίστει σὲ τιμώντων καὶ πόθῳ ἑορταζόντων, τὴν πανεύφημον μνήμην σου.

Ἦχος πλ. α'.

Ἡ παμφαὴς τοῦ Ἱερομάρτυρος μνήμη, λάμπουσα ὡς ἄλλος Ἥλιος τοῖς πέρασιν, ἀπαύστως δᾳδουχεῖ τοῖς πιστοῖς τὰ ἰάματα· νόσους ἀποσοβοῦσα, καὶ πάθη θεραπεύουσα· ἱκετεύει γὰρ ἀεὶ Φωκᾶς ὁ Ἱερομάρτυς τῷ Χριστῷ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ἦχος πλ. β'.

Τῷ ἀστέκτῳ θρόνῳ τῆς ἀρρήτου δόξης τοῦ Θεοῦ παριστάμενος, μετὰ πασῶν τῶν ἐπουρανίων θείων δυνάμεων, καὶ τῶν λοιπῶν ἁγίων ταγμάτων, καὶ τὴν ἱερὰν διπλοΐδα, πεφοινιγμένην τῷ αἵματι τοῦ μαρτυρίου ἀμπεχόμενος, καὶ στέφει διπλῷ, ἐστεμμένος τὴν σὴν κορυφήν, ἐν ὑψίστοις λειτουργεῖς. Ἐκτενῶς οὖν πρέσβευε πρὸς Κύριον μάκαρ Φωκᾶ, ὑπὲρ ἡμῶν τῶν σῶν τέκνων δεόμεθα, ὡς ἔχων παρρησίαν ἐν τῇ μνήμῃ σου. Ἦχος βαρύς.



Ὡς καλὸς Χριστοκήρυξ καὶ διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ καὶ δυνάμει τῶν θείων λόγων σου, πολλοὺς ἐπήλειψας πρὸς ἀγῶνας μαρτυρικούς· μεθ' ὧν τὸν δρόμον τῆς ἀθλήσεως καλῶς τελέσας, εἰς Νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλῃ, διπλῷ στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐτοῖς, καὶ εἰρήνην ἡμῖν δωρηθῆναι, καὶ τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ'.

Δεῦτε πάντες οἱ φιλέορτοι, πόθῳ συνελθόντες, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ, τῆς ἐνδόξου ἀθλήσεως, τοῦ καλοῦ ἡμῶν Ποιμένος, καὶ Ἱερομάρτυρος Φωκᾶ, πνευματικὴν χορείαν τε συστησάμενοι, ᾀσματικῶς εἴπωμεν. Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ τοῦ Θεοῦ, ὅτι ὡς Ποιμὴν ἀληθινός, καὶ οὐ μισθωτός, ὑπὲρ τοῦ ποιμνίου σου, τὴν ψυχήν σου μέχρις αἵματος ἔθηκας, μιμούμενος τὸν Χριστόν, ὅνπερ καὶ ὡμολόγησας καρτερῶς, ἐνώπιον ἀθέου τυράννου, καὶ ἐπάρχου Ἀφρικανοῦ τοῦ ὠμοτάτου, διὰ πολλῶν ἐξαισίων θαυμάτων. Εἴσελθε οὖν εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε παριστάμενος Ἅγιε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τιμώντων σεπτῶς τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα ἦχος πλ. α'.

Δεῦτε φιλομάρτυρες πάντες, εὐφημήσωμεν τὸν τοῦ Χριστοῦ Ἱερομάρτυρα· τὸν ὑπὲρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενον, καὶ τὸ βραβεῖον τῆς νίκης ἀναδησάμενον· τὸν φωστῆρα τῆς Οἰκουμένης, καὶ ἀειλαμπῆ ἀστέρα τῆς Ἐκκλησίας. Διὸ καὶ πρὸς αὐτὸν βοῶντες εἴπωμεν. Φωκᾶ Ἱερομάρτυς ἔνδοξε· γενοῦ ἡμῖν ψυχῶν τε καὶ σωμάτων σωτηρία, καὶ σκέπη ἀσάλευτος· πρεσβεύων πρὸς Κύριον, ὑπὲρ ἡμῶν ἀδιαλείπτως, τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν ὁ αὐτός. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφύγιον τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἐν αἵματι βάψας σου, τὴν ἱερὰν διπλοΐδα, εἰσῆλθες εἰς ἅγια, τῶν ἁγίων ἅγιος ἐμφανέστατα, Φωκᾶ θεσπέσιε· καὶ σαφῶς ἄληκτα, ἀπολαύεις τῆς θεώσεως υἱοθετούμενος, καὶ Θεὸς ὑπάρχων ἐν χάριτι· καὶ Ἄγγελος δεικνύμενος, ταῖς τοῦ βίου θείαις λαμπρότησιν. Ὅθεν σὲ τιμῶμεν, καὶ πόθῳ ἑορτάζομεν τὴν σήν, ἱερωτάτην πανήγυριν, ὕμνοις εὐφημοῦντές σε.

Στ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πυρὶ προσριπτούμενος, ἀνεμποδίστως τὴν τρίβον, διώδευσας πάνσοφε τὴν πρὸς τὴν οὐράνιον πόλιν φέρουσαν, καὶ ξίφει τεμνόμενος, ὡς ἀμνὸς ἄφωνος, τὴν σεπτὴν καὶ θείαν Κάραν σου, Χριστὸς ὁ Κύριος, θείῳ διαδήματι ἐστεφάνωσεν, ὡς μάρτυς οὖν ἀοίδιμος καὶ ἱερουργὸς ἀξιώτατος, μέλπεις σὺν Ἀγγέλοις, μελῴδημα τὸ θεῖον καθαρῶς, Ἅγιος, Ἅγιος, Ἅγιος, Τριὰς Ὁμοούσιε.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ποίμνης προϊστάμενος, τῆς λογικῆς ἱεράρχα, βακτηρίᾳ γνώσεως ἐπὶ χλόην ἔθρεψας, ταύτην πίστεως, καὶ καλῶς ἔσωσας, καὶ Θεὸν ἔτερψας, τὸν ἐξ ὕψους σε ποιμάναντα· ὃν κατ' ἐνώπιον, τῶν ἀθεωτάτων ἐκήρυξας, ἀρνίον ὥσπερ ἄκακον, τέθυσαι Κυρίῳ γηθόμενος· καὶ νῦν μετ' Ἀγγέλων, χορεύεις κατοικῶν τοὺς οὐρανούς, χεῖρας ἐκτείνων πρὸς δέησιν, ὑπὲρ τῶν ὑμνούντων σε. Δόξα ἦχος δ'.

Ὄντως ἐν σοὶ πεπλήρωται ἱεράρχα, ἡ τοῦ Εὐαγγελίου μακαρία φωνή, ἡ λέγουσα. Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· καὶ γὰρ αὐτὸς ὁ εἰπών, Κύριος Ἰησοῦς, ὃν ἐπόθησας ἀπὸ βρέφους, προειδὼς σου τὴν τῆς ψυχῆς εὐθύτητα, καὶ τὴν μέχρις αἵματος ὑπὲρ τῆς πίστεως ἀνταγώνισιν, δέδωκέ σοι τὴν χάριν, τοῦ ἐνεργεῖν θαυμάσια παράδοξα, οὐ μόνον ἔτι ζῶν ἐπὶ γῆς, ἀλλὰ καὶ μετὰ τέλος μακάριον, ὥσπερ ἔκ τινος ἀενάου πηγῆς, Φωκᾶ τρισμάκαρ, παντοδαπὰ ἰάματα προχέων, εἰς ἔλεγχον τῆς ἑκατέρου πρὸς Θεὸν νομίμου διαγωγῆς σου· πρὸς ὃν πρέσβευε ἑκάστοτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



Καὶ νῦν ὁ αὐτός. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Ἀπολυτίκιον τοῦ ἁγίου. Ἦχος δ'.

Ἱερομάρτυς ἀθλητὰ γενναιόφρον, καταβαλὼν τῶν δυσμενῶν παρατάξεις, ὑπὲρ Χριστοῦ ἐνήθλησας στερρότατα· ὅθεν εὐφημοῦμέν σε, ὡς λαμπρὸν ἀριστέα, ῥῦσαι τοὺς προστρέχοντας τῷ ἁγίῳ ναῷ σου· ταῖς πρὸς Χριστὸν λιταῖς σου ὡς ποιμήν, Φωκᾶ παμμάκαρ, πιστῶν ἡ ἀντίληψις (δίς.) Καὶ νῦν Θεοτοκ. καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, τό, Θεὸς Κύριος. Ἀπολυτίκιον τοῦ ἁγίου δὶς καὶ Θεοτοκίον. Μετὰ δὲ τὴν α' στιχολ. Κάθισμα τοῦ ἁγίου.

Ἦχος γ'. Θείας πίστεως.

Λίθος τίμιος τῆς Ἐκκλησίας, φυλαττόμενος ἐν τοῖς ταμείοις, τοῖς οὐρανίοις ἀνεδείχθης Φωκᾶ μέγιστε· τοὺς προσκυνοῦντας τοὺς λίθους κατέβαλες, καὶ μαρτυρίου ποτήριον ἔπιες, ὅπερ σοι ἄνωθεν δέδεικται. Διὸ Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Δόξα.

Ζῆλον ἔνθερμον, ἐν τῇ ψυχῇ σου, ἔχων ἅγιε κατὰ τῆς πλάνης, τοὺς ἀνομοῦντας ἀνδρείως διήλεγξας, καὶ ἐναντίον βασάνων ὑπέστησας, τὸν σὸν ἀγῶνα γενναίῳ φρονήματι, Φωκᾶ πανοίδιμε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τοὺς πόθῳ εὐφημοῦντάς σε.

Καὶ νῦν Θεοτοκίον.

Παραμύθιον, τῶν θλιβομένων, ἱλαστήριον ἁμαρτανόντων, σὺ ἀνεδείχθης Μητροπάρθενε Δέσποινα· τὴν γὰρ βροτῶν σωτηρίαν γεννήσασα, πύργος ἰσχύος, πιστοῖς μόνη γέγονας. Ὅθεν κράζομεν· Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν β' στιχολογ. Κάθισμα ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐκβλαστήσας ὡς δένδρον πανευθαλές, ἐν τῷ οἴκῳ Κυρίου ἱερουργέ, πολλοὺς κατεφύτευσας, πρὸς τὴν γῆν τὴν σωτήριον, καὶ ὡς κριὸς ποιμνίου, καλῶς ἡγησάμενος, δεσμευθεὶς ἐσφάγης, θυσία γενόμενος, τῷ δι' εὐσπλαγχνίαν, ὡς ἀρνίον σφαγέντι, καὶ χαίρων ἀνέδραμες, πρὸς αὐτὸν Πάτερ Ἅγιε. Διὰ τοῦτο βοῶμέν

σοι· πρέσβευε Χριστὲ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα ὅμοιον.

Ἱερῶς τὴν ζωήν σου διατελῶν, ἱερεὺς ἀνεδείχθης τοῦ Λυτρωτοῦ, φωτίζων τοὺς πίστει σοι, προσιόντας ἑκάστοτε, καὶ ἐπὶ τέλει μάκαρ, ἐνθέως ἀπήστραψας. Ὅθεν τὴν φωσφόρον, καὶ ἁγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε, καὶ πιστῶς μακαρίζομεν· ὦ Φωκᾶ ἱερώτατε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσκυνοῦσι, τὴν ἁγίαν εἰκόνα σου. Καὶ νῦν. Θεοτοκίον.

Διὰ κόσμον Παρθένε τὸν κοσμικόν, καὶ ταγμάτων τῶν ἄνω καλλωπισμόν, ἐν κόσμῳ ἐκύησας, τὸν τοῦ κόσμου κοσμήτορα· πρὸ γὰρ τούτου Κόρη, ὑπῆρχον ἀκόσμητα, τῶν βροτῶν μὴ βλέπειν δυναμένων τὸν Κύριον. Ὅθεν ἀμφοτέρων, κοσμιότης κοσμία, ὡράθης Μητρόθεε, κοσμιότητι τόκου σου· τὸν γὰρ κόσμον, τῷ κόσμῳ δι' αὐτοῦ τῷ ἀρχαίῳ κοσμεῖς, καὶ Ἀγγέλων πάντα τὸν διάκοσμον, ἐν σοὶ κατακοσμεῖς κοσμοσώτειρα.

Μετὰ τὴν γ' στιχολογ. Κάθισμα. Ὁ αὐτός. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Σινώπης ὁ μέγας θαυματουργός, ἀναβὰς ἐν τῷ ὕψει τῶν ἀρετῶν, ἀστράπτεις τοῖς πέρασι, τῷ φωτὶ τῶν ἰάσεων, τοὺς ζοφώδεις δαίμονας, σκορπίζων σφοδρότατα, καὶ ἐλαύνων νόσους, χρησταῖς ἐπικλήσεσιν. Ὅθεν καὶ τὴν πλάνην, τῶν εἰδώλων καθάρας, πᾶσαν τὴν ὑφήλιον, καταλάμπεις τοῖς θαύμασι, Θεοφόρε μακάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς σεβομένοις ἐν πίστει τὴν ἁγίαν μνήμην σου.

Δόξα ἦχος δ'. Ταχὺ προκατάλαβε.

Θυσίαν ἀναίμακτον, Χριστῷ προσφέρων Φωκᾶ, θυσίαν προσέφερες σαυτὸν δι' αἵματος, ἱεράρχα Θεόληπτε. Ὅθεν ἐν εὐφροσύνῃ αὐλιζόμενος Πάτερ, μέμνησο τῶν ἐν πίστει ἐκτελούντων τὴν θείαν, καὶ εὔσημον ἡμέραν τῆς σῆς ἀθλήσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγνὴ ἀπειρόγαμε, χριστιανῶν ἡ ἐλπίς· πτωχῶν ἀντιλήπτρια, τῶν θλιβομένων χαρά· πενθούντων παράκλησις· ῥῦσαί με συσχεθέντα, πειρασμοῖς ἀδοκήτοις· ἴασαί με νοσοῦντα κατὰ σάρκα καὶ πνεῦμα· πρὸς σὲ γὰρ κατέφυγον μόνη Πανάχραντε.



Μετὰ τὸν Πολυέλαιον. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐσεβείας πρόμαχος, τροπαιοφόρος, ὦ Φωκᾶ μακάριε, ἀνηγορεύθης ἐκ Θεοῦ, προσκαλουμένοις σε πάντοτε. Ὅθεν δυσώπει ἀπαύστως πρὸς Κύριον. Δόξα ὅμοιον.

Ὡς φωστὴρ ἀνέτειλας ἐκ τῆς Ἑώας, καὶ πιστοὺς ἐφώτισας, ταῖς τῶν θαυμάτων σου βολαῖς, ἱερομάρτυς Φωκᾶ σοφέ. Ὅθεν τιμῶμεν, τὴν θείαν σου ἄθλησιν. Καὶ νῦν. Θεοτοκίον.

Τὸν Υἱόν σου Πάναγνε, ὑπὲρ ἡμῶν ἐκδυσώπει, μετὰ τοῦ παμμάκαρος καὶ γενναιόφρονος Φωκᾶ· ὅπως ῥυσθῶμεν κολάσεως, αἰωνιζούσης οἱ πόθῳ τιμῶντές σε.

Οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον. Προκείμενον. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε. Πᾶσα πνοή. Εὐαγγέλιον τοῦ Ὄρθρου.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοί, ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ, ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς, ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἰς τὸ Ἐλέησόν με ὁ Θεός, Ἰδιόμελον. Ἦχος πλ. β'.

Τὸν φωστῆρα τὸν θεολαμπῆ, τὸν τοῦ Παύλου συνόμιλον, καὶ ἔργοις συμμέτοχον, Φωκᾶν τὸν ἀοίδιμον εὐφημήσωμεν· μετὰ Ἀγγέλων γὰρ ἀγάλλεται, λαβὼν τὸ στέφος τῆς ἀφθαρσίας, παρὰ τοῦ μόνου Θεοῦ, καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Οἱ Κανόνες τῆς Θεοτόκου καὶ τοῦ ἁγίου.

Ὁ κανὼν τοῦ ἁγίου, οὗ ἡ Ἀκροστιχίς.

Ὑμνεῖν σε Φωκᾶ προσθέτω Θεὸς χάριν. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ὑμνῆσαι, προθυμουμένῳ σήμερον, τὴν θείαν μνήμην σου, φωτιστικαῖς τοῦ Πνεύματος αὐγαῖς, τὴν ψυχήν μου καταύγασον, ποιμὴν καὶ μάρτυς ἔνδοξε, τοῦ Παντοκράτορος Θεοῦ ἡμῶν.

Μαρτύρων, περιφανῶς ἐπλούτησας, τὴν θείαν εὔκλειαν, ποιμαντικαῖς ἐμπρέψας καλλοναῖς, καὶ φοινίξας ἐν αἵματι, τῆς ἱερᾶς ἀθλήσεως, σοῦ τὴν στολὴν Θεομακάριστε.

Νευρώσας, τὸν λογισμὸν ταῖς κρείττοσιν, ἐλπίσι πάνσοφε, τὸν ἐν κακίᾳ ὄντα δυνατόν, παντελῶς ἐξενεύρισας, καὶ νικηφόρος ἄριστος, πρὸς Οὐρανοὺς Φωκᾶ ἀνέδραμες. Θεοτοκίον.

Ελύθη τῶν Προπατόρων Ἄχραντε, τὸ ἐπιτίμιον· τὸν πρὸ αἰώνων τίκτεις γὰρ Θεόν, νέον βρέφος γενόμενον, καὶ νεουργοῦντα ἅπασαν, τὴν ἀνθρωπίνην ὄντως ὕπαρξιν.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου. Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ιάσεις ἐπιτελῶν, τῇ ἐπικλήσει τοῦ Χριστοῦ Ὅσιε, πλάνης ἐχθροῦ ἔσωσας, πόλεις καὶ λαοὺς θείᾳ χάριτι.

Ναὸς ὑπάρχων Θεοῦ, εἰδωλικοὺς Μάρτυς ναοὺς ἔρριψας, τὴν παντουργὸν δύναμιν, ἔχων συνεργὸν καὶ συνέριθον.

Στρατὸς ὡράθη Φωκᾶ, ἀγγελικὸς καὶ φῶς Θεοῦ ἄπλετον, δικαστικῶν θρόνων σε, ἔναντι Κυρίου δοξάζοντος. Θεοτοκίον.

Εκ σοῦ Θεὸς σαρκωθείς, δι' εὐσπλαγχνίαν τοῖς βροτοῖς ἥνωται, καὶ τὴν ἀρὰν ἔλυσε, μόνη παντευλόγητε Δέσποινα.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Η χάρις τοῦ Πνεύματος, ἐν σοὶ σκηνώσασα, πηγήν σε ἀνέδειξε, πολλῶν χαρίτων Φωκᾶ, πλουσίως ἐκβλύζουσα· ὅθεν καὶ τοῖς πλωτῆρσι, βοηθεῖς καθ' ἑκάστην, πίστει ἐπιζητοῦσι, σὴν βοήθειαν Πάτερ· σὺν τούτοις καὶ ἡμῖν, ἱλασμὸν νέμοις θεόσοφε.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Παρθένε πανάμωμε, τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα, σὺν Ἀσωμάτοις αὐτόν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος, μόνη πανύμνητε. Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα

Φαεινότατον ἀστέρα σε ἐν τῷ ὕψει, τῆς Ἐκκλησίας ἔθετο, Φωκᾶ ὁ Δεσπότης, ἄθλων ἱερώτατε, θαυμάτων τε λάμψεσι, πάντων τὰς καρδίας φωτίζοντα.

Ωμολόγησας τὴν σάρκωσιν τοῦ Δεσπότου, τυραννικοῦ πρὸ βήματος, Μάρτυς ἀθλοφόρε, καὶ λαμπρῶς κατῄσχυνας, Ἑλλήνων σεβάσματα, καὶ πολυθείας τὸ ἄθεον.

Κορυφουμένην τὴν θάλασσαν τῆς ἀπάτης, πολυθείας λαίλαπι, θείᾳ κυβερνήσει, ἔνδοξε παρέδραμες, λιμὴν γαληνότατος, πᾶσι γεγονὼς θαλαττεύουσιν.



Θεοτοκίον.

Απειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν. Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Πορείας τοῦ ἐχθροῦ, προφανῶς ὑπεσκέλισας, ἰθύνων σου τὰς πορείας, πρὸς Θεοῦ θελημάτων, τὰς τρίβους Ἱερώτατε.

Ρηγνύμενον πληγαῖς, τὸ πολύαθλον σῶμά σου, διέρρηξεν ἀθείας, τοὺς δεσμοὺς θείῳ σθένει, Φωκᾶ θεομακάριστε.

Ολόκληρον Θεῷ, προσενήνεξαι σφάγιον, Πανεύφημε τῷ τυθέντι, καὶ ἐναίμους θυσίας, εἰδώλων καταπαύσαντι. Θεοτοκίον.

Σοφία τοῦ Θεοῦ, ἑαυτῇ ᾠκοδόμησεν, ὦ Δέσποινα Θεοτόκε, ἐξ ἁγνῶν σου αἱμάτων, τὸν οἶκον ὡς ηὐδόκησεν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα. Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Θάλασσαν, ἀθείας ἐξήρανας Πάνσοφε, πηγὴν ζωῆς ἀναβλύζων, διδαχῶν ὁσίων· νῦν δὲ θαυμάτων, ἐπομβρίαις, ἀποπλύνεις παθῶν πάντα βόρβορον.

Επήρθης, ἐπὶ ξύλου δεινῶς σπαθιζόμενος, καὶ ἐξαρθρούμενος Μάκαρ, καὶ φωνὴν ἐξ ὕψους σε δυναμοῦσαν, ἐνωτίσθης, Ἱεράρχα καὶ Μάρτυς πολύαθλε.

Τὸ πάθος, τοῦ ἀπαθοῦς Φωκᾶ μιμησάμενος, πάθη ποικίλα ἰᾶσαι, καὶ λυτροῦσαι ζάλης καὶ τρικυμίας, τοὺς πλωτῆρας, ταῖς πρὸς Θεόν σου θείαις ἐντεύξεσιν. Θεοτοκίον.

Ως ὄμβρος, ὁ σωτήριος Λόγος κεκένωται, ἐν τῇ ἀφθόρῳ σου μήτρᾳ, Παναγία Κόρη, καὶ τῆς κακίας, τοὺς χειμάρρους, θεϊκῇ δυναστείᾳ ἐξήρανεν. Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους Κήρυκας.

Ως θεαυγῆ καὶ φωτοφόρον Ἥλιον, σὲ νοητὸν τῇ Ἐκκλησίᾳ ἔθετο, ὁ Δεσπότης καταλάμποντα, πιστῶν τὰ πλήθη Μάρτυς ἔνδοξε· τὸν βίον γὰρ τὴν πίστιν καὶ τοὺς ἄθλους σου, ὡς μύρων εὐωδίας προσεδέξατο, ὁ μόνος ὑπάρχων πολυέλεος. Ὁ οἶκος.

Φώτισόν με φωτὶ ἀνεσπέρῳ τῆς σῆς γνώσεως Σῶτερ, τὴν ἀχλὺν τῶν παθῶν σκεδάζων μου, καὶ σκοτόμαιναν· λόγον σοφίας δίδου μοι Λόγε, καὶ συνέσεως θείας ἐν κατανύξει, ὅπως τὸν σὸν πανᾳοίδιμον Μάρτυρα στέψω Φωκᾶν, ἐν ὕμνοις καὶ μελῳδίαις· ἀπορούντων γὰρ πέλεις ἀντίληψις, καὶ πλοῦτος πᾶσι πτωχεύουσι, καὶ πηγὴ ἀγαθῶν δωρεῶν, ὁ μόνος ὑπάρχων πολυέλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

Τῷ αὐτῷ μηνὶ κβ΄ μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν λουτρῷ σφοδρῶς πυρωθέντι τελειωθέντος.

»Φωκᾶ τὸ λουτρὸν σμήγματος παντὸς δίχα,
»Λουτρὸν γὰρ ἦν ἀγῶνος, οὐ καθαρσίου.
»Εἰκάδι δευτερίῃ λοετρὸν πέφνεν ἔνδοθι Φωκᾶν.

Οὗτος ἐγένετο υἱὸς Παμφίλου καὶ Μαρίας, καταγόμενος ἐκ πόλεως Σινώπης, ἀρχαίας καὶ περιφανοῦς οὔσης κατὰ τὴν Μαύρην Θάλασσαν. Εὐθὺς δὲ ἐξ ἁπαλῶν ὀνύχων ἠξιώθη νὰ λάβῃ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, καὶ νὰ ἐνεργῇ παράδοξα θαύματα. Ἔπειτα δὲ ἔγεινε καὶ ἐπίσκοπος, καὶ πολλοὺς ἀπίστους ἐπέστρεψεν εἰς τὸ φῶς τῆς θεογνωσίας, τόσον μὲ τὰ θεῖά του λόγια, ὅσον καὶ μὲ τὰ ὑπερφυσικά του τεράστια· πάντοτε δὲ ἐδίδασκε καὶ ἐθαυματούργει ἕως ἐσχάτης του ἀναπνοῆς. Ἀπεκαλύφθη δὲ εἰς αὐτὸν τὸ μαρτυρικὸν τέλος, ὅπερ ἔμελλε νὰ λάβῃ μὲ τοιοῦτον σημεῖον παράδοξον· μία περιστερὰ ἐλθοῦσα ἐκάθισεν ἐπὶ τῆς κεφαλῆς του, καὶ θέσασα ἐπ' αὐτῆς στέφανον, ὡμίλησε μὲ ἀνθρωπίνην φωνὴν καὶ εἶπε· Ποτήριον ἐκεράσθη εἰς σέ, καὶ πρέπει νὰ τὸ πίῃς· καὶ τῇ ἀληθείᾳ τὸ τοιοῦτον ποτήριον τοῦ μαρτυρίου ἠξιώθη νὰ πίῃ ὁ ἀοίδιμος ἐπὶ τῆς βασιλείας τοῦ Τραϊανοῦ ἐν ἔτει ρα΄. (101) ἐν δὲ τῷ Ὡρολογίῳ γράφεται 102.

Οὐ γὰρ ὁ κηπουρὸς Φωκᾶς οὗτός ἐστιν, ὁ ἐκ τῆς αὐτῆς Σινώπης καταγόμενος, καὶ κατὰ τὴν σημερινὴν ἡμέραν καὶ αὐτὸς ἑορταζόμενος. Ἀλλὰ ἄλλος, διαλάμπων μὲ πολιτείαν καθαρὰν καὶ μὲ ἀρετὰς διαφόρους. Οὗτος λοιπὸν ἐφέρθη εἰς τὸν ἔπαρχον Ἀφρικανόν, καὶ ἐρωτηθεὶς παρ' αὐτοῦ, ἐθεολόγησε, καὶ παρρησίᾳ ἐδίδαξε τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν. Ἐπειδὴ δὲ ὁ Ἀφρικανὸς ἐτόλμησε νὰ βλασφημήσῃ τὸν Χριστόν, καὶ νὰ τιμωρήσῃ τὸν Ἅγιον, διὰ τοῦτο εὐθὺς ἔγεινε σεισμὸς μέγας, ἀπὸ τὸν ὁποῖον ἔπεσαν κάτω νεκροὶ ὅ τε ἔπαρχος καὶ οἱ στρατιῶται αὐτοῦ. Ἀλλ' ὁ Ἅγιος τὸν ἀνέστησε καθότι παρεκάλεσεν αὐτὸν ἡ γυνὴ τοῦ ἐπάρχου. Μετὰ τοῦτο ἐφέρθη ὁ Ἅγιος εἰς τὸν βασιλέα Τραϊανόν· καὶ ἐπειδὴ ἐκήρυξε τὸν Χριστόν, διὰ τοῦτο ἐκρέμασαν αὐτὸν καὶ ἐξέσχιζον· ὕστερον ἔβαλαν αὐτὸν μέσα εἰς τὸν ἀσβέστην, ἐπειδὴ καὶ ἐπέμενεν ἀνδρείως ὁμολογῶν τὸν Χριστόν.

Τελευταῖον δὲ ἔβαλαν αὐτὸν μέσα εἰς λουτρόν, τὸ ὁποῖον ἐκάη πολὺ δυνατά. Ὅθεν ἐκεῖ ἔνδον παρέδωκεν εἰς χεῖρας Θεοῦ τὴν ψυχήν του, ὁ γενναῖος ἀγωνιστής. Πολλὰ δὲ θαύματα καὶ μετὰ τὸν θάνατόν του ἔκαμεν ὁ τρισόλβιος τόσον εἰς τοὺς ἐν θαλάσσῃ κινδυνεύοντας, συμπλέων μὲ αὐτοὺς καὶ διασῴζων εἰς τοὺς λιμένας τὰ πλοῖά των· ὅσον καὶ εἰς τοὺς ἐπικαλουμένους αὐτὸν καθ' οἷον δήτινα τρόπον, ταχὺς καὶ θερμὸς βοηθὸς εἰς τούτους γινόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Φωκᾶ τοῦ κηπουροῦ, ξίφει τελειωθέντος.

»Ἤδει χάριν σοι σοῦ χάριν θνήσκων, Λόγε,
»Φωκᾶς ὁ Μάρτυς τῷ διὰ ξίφους τέλει.

Οἱ ἅγιοι μάρτυρες Ἰσαὰκ καὶ Μαρτῖνος ξίφει τελειοῦνται.



**Εἰς τὸν Ἰσαάκ.**

»Πάθους τὸ λεῖπον Ἰσαὰκ Σάρρας τέκνον,
»Σφαγεὶς ἀνεπλήρωσεν Ἰσαὰκ νέος.

**Εἰς τὸν Μαρτῖνον.**

»Χριστοῦ τὸ θάρσος ἐμπνέοντος ὑψόθεν,
»Πρὸς σπάθην ἔσπευδεν ἐκπνεῖν Μαρτῖνος.

Μνήμη τοῦ ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω Ὁσίου Κοσμᾶ τοῦ Ζωγραφίτου, ἀσκήσαντος ἐν ἔτει ͵ατκγ΄. (1323) ἀπὸ Χριστοῦ γεννήσεως.

»Μύσας τὸ ὄμμα σώματος βλέπεις ἄνω,
»Κοσμᾶ Ὅσιε, τὸ πρόσωπον Κυρίου.

Οἱ εἰκοσιὲξ ὁσιομάρτυρες Ζωγραφῖται, οἱ ἐλέγξαντες τοὺς λατινόφρονας τόν τε Βασιλέα Μιχαὴλ καὶ Πατριάρχην Βέκκον, ἐπάνωθεν τοῦ Πύργου, πυρὶ τελειοῦνται.

»Ὡς πυρίκαυστοι θυσίαι τῷ Κυρίῳ
»Αἱ εἰκοσιὲξ ὡράθησαν εἰκόνες.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Θυμὸν τυράννων, οὐκ ἐδειλίασας πάνσοφε, ποίμνης προϊστάμενος δὲ τῆς λογικῆς, ὡς ἀρνίον προσενήνεξαι, τῷ ἀρχιποίμενι, μαρτυρικῶς Φωκᾶ κλεϊζόμενος.

Ἐδοκιμάσθης, ὡς ἐν χωνείᾳ Μάρτυς χρυσός, μέσον ἐμβληθεὶς ἀσβέστου φλογοειδοῦς, καὶ μηδόλως φλογιζόμενος. Εὐλογημένος εἶ ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Ὁ θεῖος πόθος, προσαναφλέγων τὴν καρδίαν σου, θείῳ δροσισμῷ σε ἔνδοξε συντηρεῖ, ἐν πυρὶ μὴ δαπανώμενον· τῆς ἀθείας δὲ Ἱεράρχα, τὴν ὕλην συγκαίοντα. Θεοτοκίον.

Ἐσαθρωμένον, τὸν τῆς ψυχῆς οἶκον πανάμωμε, Κόρη, μετανοίας τρόποις ὡς ἀγαθή, ἀνακαίνισον ἡ ἅπασαν, τὴν ἀνθρωπότητα, τῷ τοκετῷ σου ἀνακαινίσασα. Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χάρις σου τοῖς χείλεσι σοφέ, Φωκᾶ ἐκκέχυται· ὅθεν ἐπέστρεψας, λαὸν πλανώμενον ὄφεως, ὑποθήκαις καὶ προσήγαγες, οἷα ποιμὴν ἀληθινός, Χριστῷ κραυγάζοντα. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀκοίμητον ἔχει σε πιστῶν, Σοφὲ ὁμήγυρις, πρέσβυν κοιμίζοντα, παθῶν θαλάσσης τὰ κύματα, πειρασμούς τε κατευνάζοντα, καὶ ὀδυνῶν παντοδαπῶν ἡμᾶς λυτρούμενον, τοὺς βοῶντας. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥεῖθρα ἰαμάτων ὁ ναός, ὁ σὸς τοῖς χρῄζουσι, πηγάζει πάντοτε, λιμὴν δεικνύμενος ἄκλυστος, καὶ παθῶν φυγαδευτήριον, τοῖς σὲ τιμῶσι, καὶ Χριστῷ Μάρτυς κραυγάζουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἵνα σου τιμῶμεν τὸ σεπτόν, Φωκᾶ μνημόσυνον, πανηγυρίζοντες, τὸν ὑπεράγαθον Κύριον, ἐκδυσώπει προθυμότατα, ἀπαλλαγὴν τῶν δυσχερῶν, ἡμῖν δωρήσασθαι, τοῖς βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Νόμου σε ἐτύπου κιβωτός, καὶ στάμνος φέρουσα, τὸ μάννα Πάναγνε, ἡ θεία τράπεζα αὖθίς τε, καὶ λυχνία χρυσαυγίζουσα, εἰς ἀποκάλυψιν ἐθνῶν, τὸ φῶς κυήσασαν, τὸ φωτίζον, θεογνωσίᾳ τοῦ κόσμου τὰ πέρατα.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ. Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Ἱερολογίαις ἐνθέοις, τοῦ ἱεροῦ δεῦτε Ποιμένος, πάντες τὴν πανίερον μνήμην, ἱερωτάτως πανηγυρίσωμεν, τὸν εὐεργέτην Κύριον, ὑπὲρ ἡμῶν καθικετεύοντος.

Ὤφθης πυρακτούμενος ζήλῳ, τὸ τοῦ Δεσπότου ὁπηνίκα, Μάρτυς τὸ λουτρὸν ὑπεισῆλθες, ἐκκεκαυμένον, ἐν ᾧ τὸ πνεῦμά σου, Θεοῦ ἐπαγαλλόμενος, Μάκαρ εἰς χεῖρας παραδέδωκας.

Σὲ Ἱεραρχῶν αἱ χορεῖαι, καὶ τῶν Μαρτύρων αἱ ἀγέλαι, καὶ τῶν ἱερῶν ἀποστόλων, ἡ συναυλία πάντων Δικαίων τε Μάρτυς Φωκᾶ τὰ πνεύματα, ἔχοντα μέσον ἐπαγάλλονται.

Ἥπλωται ἐν κόσμῳ ἡ μνήμη, ἡ σὴ ψυχὰς φωταγωγοῦσα, τῶν ἀνευφημούντων ἐν πίστει, τοὺς σοὺς ἀγῶνας καὶ τὰ παλαίσματα, καὶ τὴν γενναίαν ἄθλησιν, Ποιμὴν καὶ Μάρτυς ἀξιάγαστε. Θεοτοκίον.

Φώτισον Ἁγνὴ τὴν ψυχήν μου, ἐσκοτισμένην ἁμαρτίᾳ, καὶ αἰωνιζούσης φλογός με καὶ σκότους ῥῦσαι τῇ μεσιτείᾳ σου, ἵνα τὴν σὴν γηθόμενος, ἀνευφημῶ μεγαλειότητα. Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐνθέως πυρσευόμενος, τῷ πόθῳ τοῦ Παντάνακτος, τὸν ὑπερήφανον ὄφιν, ἀνδρείως μάκαρ καθεῖλες· καὶ τύραννον ἀπάνθρωπον, Τραϊανὸν παράφρονα, ἤλεγξας ὦ Φωκᾶ σοφέ, καὶ στέφανον ἐκομίσω, παρὰ πάντων Δεσπότου. Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἱεραρχῶν ἀκρότης, καὶ ἀθλοφόρων τὸ κλέος, Φωκᾶ, καὶ μέγας προστάτης, τοῖς θαλαττεύουσι πέλων, περίσῳζε ἐκ κινδύνων, τοὺς εὐφημοῦντάς σε μάκαρ. Θεοτοκίον.

Τὸν σὸν Υἱὸν ὦ Παρθένε, δυσώπησον σαῖς πρεσβείαις, ἵνα ῥυσθῶμεν μελλούσης, καὶ φοβερᾶς καταδίκης· ἀξιωθῶμεν δὲ στῆναι, ἐκ δεξιῶν Αὐτοῦ πάντες.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ΄. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια δευτεροῦντες τὸ α΄. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, τῇ κεφαλῇ σου Φωκᾶ, καταπτᾶσα ἐπέθηκε, περιστερὰ στέφανον, μαρτυρίου οὐράνιον· ποτήριόν



σοι θεῖον κεκέρασται, καὶ τοῦτο δεῖ σε πιεῖν ἐφθέγγετο. Ὢ πῶς σε Κύριος. θαυμαστῶς ἐκάλεσε, καὶ κοινωνόν, πάθους ἀπεφήνατο, καὶ θείας δόξης Αὐτοῦ. (Δίς.)

Μάρτυς Φωκᾶ ἱερώτατε, σὺ ἐκ παιδὸς ἀληθῶς, ἀνεδείχθης θεόληπτος, μύστης παναοίδιμος· διδαγμάτων λαμπρότησι, περιαυγάζ ν τοὺς προσιόντας σοι, καὶ ἐν θαλάσσῃ πολλοὺς λυτρούμενος. Ὢ τῆς ἀφράστου σου, προμηθείας Ἅγιε, καὶ δωρεᾶς, ἧς περ κατηξίωσαι, παρὰ τοῦ μόνου Θεοῦ.

Ἅπας ὁ βίος σου ἔνθεος, δι᾽ ἀρετῆς ὑψηλῆς· τὸ δὲ τέλος μακάριον, ἀνεδείχθη Ἅγιε· ἡ ἐνοικοῦσα θεία γὰρ χάρις σοι, κατέστεψέ σε, ποιμένα ἄξιον, καὶ ἀθλοφόρον Χριστοῦ θαυμάσιον. Ὢ τῆς ἐνθέου σου πολιτείας Ἅγιε, καὶ τῆς στερρᾶς πίστεως πρὸς Κύριον, ὑπὲρ οὗ ἤθλησας.

Δόξα. Ἦχος πλ. α΄. Ἀ. Σεραφείμ.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν τῷ πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ ἱερομάρτυρος Χριστοῦ. Ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν ἐν ἀθλήσει ἐκλάμψαντα γενναίως, καὶ θαυμάτων τὴν χάριν δεξάμενον παρὰ Χριστοῦ, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημείτωσαν· οἱ πυρέττοντες τὴν ἀπαλλαγήν· οἱ δαιμονῶντες τὸν ῥύστην· οἱ ἐν συμφοραῖς τὸν Σωτῆρα· οἱ νοσοῦντες τὸν ἰατρόν· οἱ ἐν θαλάσσῃ τὴν εὐπλοΐαν· οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· οἱ ἐν κινδύνοις τὴν σωτηρίαν οἱ πάντες τὸν πάντα πᾶσι γινόμενον γενναῖον ἱερομάρτυρα· ἐγκωμιάζοντες ἀνακράξωμεν· Φωκᾶ παμμακάριστε, μεσίτευε ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ δίδου βοήθειαν ἐν περιστάσεσιν.

Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λυτουργίαν. Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ ἁγίου, ᾠδὴ γ΄ καὶ ς΄.

Ἀπόστολος τῆς Λειτουργίας. Προκείμενον. Ἦχος πλ. β΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. Πρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεός μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ ἔχοντες Ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν Ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ᾽ ὁμοιότητα, χωρὶς

ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Κεφ. ε' 1. Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν· μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ καθάπερ καὶ ὁ Ἀαρών. Ἔξοδ. κη', 1. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι Ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν: «Υἱός μου εἶ σύ, »ἐγὼ σήμερον γεγέννηκά σε.» Ψαλμ. β', 7. Καθὼς καὶ ἐν ἑτέρῳ »λέγει: ρθ', 4. «Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.» Εὐαγγέλιον τῆς Λειτουργίας. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ, ἔμπροσθεν τοῦ Πατρός μου, τοῦ ἐν Οὐρανοῖς. Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ, ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης Αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός Μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Μεγαλυνάριον τοῦ Ἁγίου.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, πάντας τοὺς ἐν πίστει, σοῦ τὸ ὄνομα εὐλαβῶς, ἐπικαλουμένους, ἐν γῇ καὶ ἐν θαλάσσῃ, Φωκᾶ Ἱερομάρτυς, ἀξιοθαύμαστε.

(Ἐπιμελείᾳ Κ. Χ. ΔΟΥΚΑΚΗ)

Τέλος. Τῷ δὲ χορηγῷ τῶν ἀγαθῶν αἶνος.

# ΜΕΓΑΣ ΣΥΝΑΞΑΡΙΣΤΗΣ Ἢ ΒΙΟΙ ΑΓΙΩΝ

Πάντες οἱ βίοι τῶν ἁγίων τῆς ὀρθοδόξου ἀνατολικῆς Ἐκκλησίας καὶ κινητῶν ἑορτῶν τὰ Συναξάρια ἐξεδόθησαν μέχρι τέλους ἐμπεριέχοντες Ἀκολουθίας μὴ ἐμπεριεχομένας εἰς τὰ Μηναῖα καὶ Λόγους ἐγκωμιαστικούς, καθὼς καὶ τὸ Πανάγιον μετὰ ἀλφαβητικοῦ καταλόγου πάντων τῶν ἁγίων ἐκ τριῶν χιλιάδων περίπου, καὶ πότε ἕκαστος ἑορτάζεται καὶ εἰς ποῖον βιβλίον Συναξαριστοῦ εὑρίσκεται. Εἰς δεκατέσσαρας τόμους, ἕκαστος δὲ τόμος τιμᾶται δραχ. τριῶν διὰ τοὺς δώδεκα μῆνας, οἱ δύο δὲ τελευταῖοι τόμοι, περιέχοντες τὰ Συναξάρια τῶν κινητῶν ἑορτῶν Τριῳδίου τε καὶ Πεντηκοσταρίου, δίδονται μόνον ἀντὶ μιᾶς δραχ. ἕκαστος τόμος. Τὸ σύγγραμμα ὅλον ἐκ 450 τυπογραφικῶν φύλλων, εἰς δεκατέσσαρας τόμους καὶ δύο παραρτήματα ἐκ σελ. 7,170 τιμᾶται δραχ. 37, διὰ τὰς ἐπαρχίας δρ. 40 ἐλεύθερον ταχυδρομικῶν τελῶν, διὰ δὲ τὸ ἐξωτερικὸν δραχ. 40 χρυσῶν.

Ὀλίγαι σειραὶ τοῦ Μεγάλου Συναξαριστοῦ μένουσι. Σπεύσατε ἵνα μὴ μείνητε ἔξω τοῦ Νυμφῶνος. Ὁ βουλόμενος ν' ἀποκτήσῃ αὐτὸν πρὶν ἢ ἐξαντληθῇ ἢ ὅ,τι δήποτε βιβλίον, ἀποστέλλει τὸ ἀντίτιμον καὶ εὐθὺς διὰ πρώτου ταχυδρομείου λαμβάνει τὸ αἰτούμενον.

Ἐτυπώθησαν καὶ αἱ Ἀκολουθίαι τῶν Ἁγιορειτῶν Πατέρων, τῶν Νεομαρτύρων μετὰ Ἐγκωμίου, καὶ Ἀκολουθία καὶ ἐγκώμια τῆς Κοιμήσεως τῆς Θεοτόκου. Τιμᾶται ἑκάστη ἀντὶ δραχμῆς, διὰ δὲ τὸ Ἅγιον Ὄρος καὶ τὸ ἐξωτερικὸν δραχ. ἀργυρᾶς. Ὁμοίως ἐτυπώθη καὶ ἡ Πνευματικὴ Τράπεζα σύγγραμμα Γερασίμου Παπαδοπούλου βιβλίον ψυχωφελέστατον ἐκ σελίδων 418 τιμᾶται μόνον δρ. 2. Ὁμοίως καὶ φυλλάδιον τοῦ ἰδίου γνῶμαι λεπ. 20 καὶ Λειμωνάριον τὸ παλαιὸν δραχμῆς.

Πᾶσα πληρωμὴ γενομένη εἰς ἄλλο πρόσωπον ἐπιβαρύνει τὸν πληρώσαντα.

Ἡ διεύθυνσις, Κ. Χ. Δουκάκης 36 ὁδὸς Πετράκη 36.